Ακαδημία Αθηνών / Academy of Athens

νης 2.4 *γ ῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ* **2** (ἀντιδιαστ. *οὐρανός*). Ἡ Γῆ, Earth, Ξενοφάνης 28.1 *γ α ί η ς μὲν τόδε πεῖρας ἄνω παρὰ ποσσὶν ὁρᾶται ἠέρι προσπλάζον* 31 *ἠέλιος θ' ὑπεριέμενος γ α ῖ ά ν τ' ἐπιθάλπων* Παρμενίδης 11.1 *πῶς γ α ῖ α καὶ ἥλιος ἠδὲ σελήνη* 14 *νυκτιφαὲς περὶ γ α ῖ α ν ἀλώμενον ἀλλότριον φῶς* Ἐμπεδοκλῆς 39.1 *εἴπερ ἀπείρονα γ ῆ ς τε βάθη* 42.2 *ἀπεσκνίφωσε δὲ γ α ί η ς* 45 *κυκλοτερὲς περὶ γ α ῖ α ν ἑλίσσεται ἀλλότριον φῶς* 48 *νύκτα δὲ γ α ῖ α τίθησιν ὑφισταμένη φαέεσσι* 115.10 *γ α ῖ α δ' ἐς αὐγὰς ἠελίου φαέθοντος* Πυθαγόρειοι Α 37 (DK I 462,8) *ἀντίχθονα δὲ τὴν σελήνην ... καὶ αἰθερίαν γ ῆ ν* Ἀναξαγόρας 15.2 *τὸ μὲν πυκνὸν καὶ διερὸν καὶ ψυχρὸν καὶ τὸ ζοφερὸν ἐνθάδε συνεχώρησεν, ἔνθα νῦν* <*ἡ γ ῆ*>, *τὸ δὲ ἀραιὸν καὶ τὸ θερμὸν καὶ τὸ ξηρὸν ἐξεχώρησεν εἰς τὸ πρόσω τοῦ αἰθέρος* **3** (ἀντιδιαστ. *θάλασσα, πόντος*). Ἡ στεριά, land, Ἡράκλειτος 31 *πυρὸς τροπαὶ πρῶτον θάλασσα, θαλάσσης δὲ τὸ μὲν ἥμισυ γ ῆ ...* <*γ ῆ*> *θάλασσα διαχέεται καὶ μετρέεται εἰς τὸν αὐτὸν λόγον ὁκοῖος πρόσθεν ἦν ἢ γενέσθαι γ ῆ* Ἐμπεδοκλῆς 38.3 *γ α ῖ ά τε καὶ πόντος πολυκύμων ἠδ' ὑγρὸς ἀὴρ* 55 *γ ῆ ς ἱδρῶτα θάλασσαν* 111.3 *ἀνέμων μένος οἵ τ' ἐπὶ γ α ῖ α ν ὀρνύμενοι* Ἀναξαγόρας 4.8 *καὶ τὴν γ ῆ ν αὐτοῖσι φύειν πολλά τε καὶ παντοῖα* Διογένης 2.10 *οὔτε φυτὸν ἐκ τῆς γ ῆ ς φῦναι οὔτε ζῷον* **4.** Περιοχὴ τῆς γῆς/χώρα, region of earth/country, Ξενοφάνης 8.2 *ἀν' Ἑλλάδα γ ῆ ν* Δημόκριτος 247 *ἀνδρὶ σοφῷ πᾶσα γ ῆ βατὴ* **5.** Χῶμα, earth, Ἡράκλειτος 22 *χρυσὸν οἱ διζήμενοι γ ῆ ν πολλὴν ὀρύσσουσι καὶ εὑρίσκουσιν ὀλίγον* Ἀναξαγόρας 4.17 *γ ῆ ς πολλῆς ἐνεούσης.*

**Γηθοσύνη.** Χαρὰ/Τέρψη (προσωποπ.), Joy/Delight (personif.), Ἐμπεδοκλῆς 17.24 *Γ η θ ο σ ύ ν η ν καλέοντες ἐπώνυμον ἠδ' Ἀφροδίτην.* Πρβλ. *Ἀφροδίτη, Φιλότης.*

**γηραιός** (ἀντίθ. *νέος*). Γερασμένος, old, Ἡράκλειτος 88.3 *καὶ νέον καὶ γ η ρ α ι ό ν.* Πρβλ. *γέρων, γηραλέος, παλαιός.*

**γηραλέος.** Ἡλικιωμένος/γέρος, elderly/old, Ξενοφάνης 1.18 *οὐχ ὕβρις πίνειν ὁπόσον κεν ἔχων ἀφίκοιο οἴκαδ' ἄνευ προπόλου μὴ πάνυ γ η ρ α λ έ ο ς.* Πρβλ. *γηραιός, γέρων.*

**γῆρας** (ἀντίθ. *νεότης*). Γήρας/γηρατειά, old age, Ἐμπεδοκλῆς



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

111.1 *γ ή ρ α ο ς* *ἄλκαρ* 152 *γ ῆ ρ α ς* *ἡμέρας* (sc. *ἡ ἑσπέρα*) Δημόκριτος 294.2 *γ ή ρ α ο ς* *δὲ σωφροσύνη ἄνθος* 295.2 *ἐς γ ῆ-ρ α ς* *ἀφίξεται* 296.1 *γ ῆ ρ α ς* *ὁλόκληρός ἐστι πήρωσις*. Πρβλ. *γηραιός*.

**γηράσκειν** (τύπ. *γηρᾶν*). Γερνῶ, grow old, Ξενοφάνης 9 *ἀνδρὸς γ η ρ έ ν τ ο ς* Δημόκριτος 206 *γ η ρ ά σ κ ε ι ν* *ἐθέλουσιν*.

**Γί(γ)νεσθαι** (ἀντιδ. *Εἶναι*). Γίγνεσθαι, become, Ἡράκλειτος 1.4 *γ ι ν ο μ έ ν ω ν* *γὰρ πάντων κατὰ τὸν λόγον* 75 *τοὺς καθεύδοντας . . . ἐργάτας εἶναι καὶ συνεργοὺς τῶν ἐν τῷ κόσμῳ γ ι ν ο μ έ-ν ω ν* 80 *γ ι ν ό μ ε ν α* *πάντα κατ' ἔριν καὶ χρεὼν* Λεύκιππος 2 *οὐδὲν χρῆμα μάτην γ ί ν ε τ α ι*, *ἀλλὰ πάντα ἐκ λόγου τε καὶ ὑπ' ἀνάγκης* **1** (ἀντίθ. *ὄλλυσθαι*). Γίνομαι/γεννιέμαι, come into being, Ξενοφάνης 29 *γῆ καὶ ὕδωρ πάντ' ἔσθ' ὅσα γ ι ν ο ν τ(α ι) ἠδὲ φύονται* Ἡράκλειτος 20 *γ ε ν ό μ ε ν ο ι* *ζώειν ἐθέλουσι μόρους τ' ἔχειν· καὶ παῖδας καταλείπουσι μόρους γ ε ν έ σ θ α ι* 39 *ἐν Πριήνῃ Βίας ἐ γ έ ν ε τ ο* *ὁ Τευτάμεω* Παρμενίδης 8.13 *οὐδέ ποτ' ἐκ μὴ ἐόντος ἐφήσει πίστιος ἰσχὺς γ ί γ ν ε σ θ α ί* *τι παρ' αὐτό· τοῦ εἵνεκεν οὔτε γ ε ν έ σ θ α ι* *οὔτ' ὄλλυσθαι ἀνῆκε Δίκη χαλάσασα πέδῃσιν* 8.19-20 *πῶς δ' ἂν ἔπειτ' ἀπόλοιτο ἐόν; πῶς δ' ἄν κε γ έ ν ο ι τ ο; εἰ γὰρ ἔ γ ε ν τ', οὐκ ἔστ(ι), οὐδ' εἴ ποτε μέλλει ἔσεσθαι* 8.40 *γ ί γ ν ε σ θ α ί* *τε καὶ ὄλλυσθαι* 11 *πῶς γαῖα καὶ ἥλιος ἠδὲ σελήνη . . . ὡρμήθησαν γ ί γ ν ε σ θ α ι* Μέλισσος 1 *εἰ γὰρ ἐ γ έ ν ε τ ο, ἀναγκαῖόν ἐστι πρὶν γ ε ν έ σ θ α ι* *εἶναι μηδέν· εἰ τοίνυν μηδὲν ἦν, οὐδαμὰ ἂν γ έ ν ο ι τ ο* *οὐδὲν ἐκ μηδενὸς* 2 *ὅτε τοίνυν οὐκ ἐ γ έ ν ε τ ο, ἔστι τε καὶ ἀεὶ ἦν καὶ ἀεὶ ἔσται καὶ ἀρχὴν οὐκ ἔχει οὐδὲ τελευτήν, ἀλλ' ἄπειρόν ἐστιν. εἰ μὲν γὰρ ἐ γ έ ν ε τ ο, ἀρχὴν ἂν εἶχεν (ἤρξατο γὰρ ἄν ποτε γ ε ν ό μ ε ν ο ν) καὶ τελευτὴν (ἐτελεύτησε γὰρ ἄν ποτε γ ε ν ό μ ε ν ο ν)* 3 *τὸ ποτὲ γ ε ν ό μ ε ν ο ν* 7(2) *εἰ γὰρ ἑτεροιοῦται, ἀνάγκη τὸ ἐὸν μὴ ὁμοῖον εἶναι, ἀλλὰ ἀπόλλυσθαι τὸ πρόσθεν ἐόν, τὸ δὲ οὐκ ἐὸν γ ί-ν ε σ θ α ι* 7(3) *ὁ γὰρ κόσμος ὁ πρόσθεν ἐὼν οὐκ ἀπόλλυται οὔτε ὁ μὴ ἐὼν γ ί ν ε τ α ι* 7 (5) *ἀπὸ γὰρ ἂν ὄλοιτο τὸ ὑγιὲς καὶ τὸ ἐόν, τὸ δὲ οὐκ ἐὸν γ έ ν ο ι τ ο* 8 (3) *καὶ τὸ ζῶον ἀποθνήσκειν καὶ ἐκ μὴ ζῶντος γ ί ν ε σ θ α ι . . . ἐξ ὕδατός τε γῆ καὶ λίθος γ ί ν ε σ θ α ι* 8(6) *ἢν δὲ μεταπέσῃ, τὸ μὲν ἐὸν ἀπώλετο, τὸ*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ